TEZAUR LITURGIC

19 APRILIE

# PARACLISUL SF.CUVIOS-MUCENIC AGATANGHEL ESFIGMENITUL DE LA SMIRNA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΑΠΡΙΛΙΟΣ
# ΑΓΑΘΑΓΓΕΛΟΣ ΝΕΟΣ
# ΟΣΙΟΜΑΡΤΥΣ ΕΣΦΙΓΜΕΝΙΤΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾿ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾿ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾿. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Στίχ. β᾿. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾿. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν Ὁσιόαθλον Χριστοῦ Ἀγαθάγγελον, τὸν ἐν ἀσκήσει καὶ ἀθλήσει ἐκλάμψαντα, καὶ τὸν τῆς πλάνης λύσαντα κρυμόν, ἅπαντες ὑμνήσωμεν, ἱεραῖς μελῳδίαις, πρὸς αὐτὸν κραυγάζοντες, ἐκ παντοίας ἀνάγκης, καὶ ἐπηρείας λύτρωσαι ἡμᾶς, τοὺς σὲ προστάτην, στεῤῥὸν εὐμοιρίσαντας

*Δόξα.*

Οἱ τῇ σορῷ σεπτῶν λειψάνων προστρέχοντες, Ἀγαθαγγέλου ἐκ ψυχῆς ἀνακράξωμεν, μετὰ ζεούσης πίστεως τὴν κάραν τε αὐτοῦ, πόθῳ ἀσπαζόμενοι, ἐκ δεινῶν συμπτωμάτων, νόσων καὶ κακώσεων, ἐξελοῦ ἡμᾶς Μάρτυς, καὶ δυσωδίας λύτρωσαι παθῶν, ταῖς πρὸς Θεὸν ἱεραῖς μεσιτείαις σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς ἐξισχύσειεν ὑμνεῖν Θεοτόκε, τὰς δυναστείας καὶ θαυμάτων τὰ πλήθη, τῆς θαυμαστῆς Εἰκόνος Σου τὰ ξένα καὶ φρικτά, πάντας ἰατρεύουσα, ἐκ δεινῶν νοσημάτων, τάχος τε προφθάνουσα, τοῖς θερμῶς Σε καλοῦσιν, ἀλλὰ καὶ νῦν ἡμᾶς ἐκ τῶν δεινῶν, ταῖς προστασίαις Σου σῶζε δεόμεθα.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών.

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀγγέλων συνώνυμε ἐκτενῶς, δέησιν προσάγων μὴ ἐλλείπης τῷ Λυτρωτῇ, κινδύνων παντοίων διασώσαι, τοὺς ἀδιστάκτῳ τῇ πίστει τιμῶντάς σε.

Ἡ θεία σορός σου τῶν ἱερῶν, λειψάνων βραβεύει τὰς ἰάσεις τοῖς εὐλαβῶς, κατασπαζομένοις τῇ θερμῇ σου, πρὸς τὸν Θεὸν μεσιτείᾳ τρισόλβιε.

Νοσοῦσάν μου ἴασαι τὴν ψυχήν, Μαρτύρων τὸ κλέοςἈγαθάγγελε ἱερέ, καὶ βαίνειν τὰς τρίβους τοῦ Κυρίου, σῇ μεσιτείᾳ τρισμάκαρ ἐνίσχυσον.

*Θεοτοκίον.*

Δυσώπει Παρθένε τὸν Σὸν Υἱόν, σὺν Ἀγαθαγγέλῳ νεκρωθεῖσάν μου τὴν ψυχήν, ζωῶσας ὁ πάλαι τὸν τῆς χήρας, υἱὸν ζωώσας τῷ θείῳ προστάγματι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἔχοντές σε προστάτιν πρὸς τὸν Θεὸν ἔνδοξε, οἱ ἐν τῇ Μονῇ Ἐσφιγμένου καθικετεύομεν, ὦ Ἀγαθάγγελε, τοὺς σὲ πιστῶς εὐφημοῦντας, πειρασμῶν ἀπάλλαξον τῇ μεσιτείᾳ σου.

Ἱκετεύομεν μάκαρ τὰ τῆς ψυχῆς ἴασαι, πάθη καὶ τὰ τραύματα ταύτης τάχος θεράπευσον, ὦ Ἀγαθάγγελε, τῶν εὐφημούντων σε πόθῳ, Μοναστῶν Μαρτύρων τε θεῖον ἀγλάϊσμα.

Εὐμενῆ σε προστάτιν πρὸς τὸν Θεὸν ἔνδοξε, πάντες προβαλλόμεθα οἱ τοῦ Σωτῆρος Μονῆς ἀδελφοὶ

καθικετεύοντες, πειρατηρίων παντοίων, λυτρωθῆναι ἅπαντας τῇ μεσιτείᾳ σου.

*Θεοτοκίον.*

Παναγία Παρθένε τὸν Λυτρωτὴν τέξασα, λύτρωσαι παντοίων κινδύνων τοὺς Σοὶ προστρέχοντας, καὶ ἀνυμνοῦντάς Σε, Θεοκυῆτορ Μαρία, τῶν πιστῶν βοήθεια μόνη πανύμνητε.

Διάσωσον, ἀπὸ κινδύνων Μονήν σου τὴν σὲ τιμῶσαν, καὶ τὴν ποίμνην ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ ἡμῶν καὶ ῥύστης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης θερμὸς ὑπάρχεις Ἀγαθάγγελε, τοῖς πόθῳ τοῖς σοῖς λειψάνοις προσπελάζουσι, καὶ πιστῶς γεραίρουσι καὶ βοῶσί σοι Ὁσιόαθλε, ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς μέγας ἡμῶν φύλαξ καὶ πρόμαχος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἱερὲ Ἀγαθάγγελε, λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας, καὶ τιμῶντάς σου τὰ λείψανα, ὅπως σε ἀπαύστως μακαρίζομεν.

Δυσωποῦμέν σε ἔνδοξε, τὴν νενεκρωμένην ψυχὴν ἡμῶν ζώωσον, καὶ ἀνάστησον πρεσβείαις σου, Ἀθλητὰ ΚυρίουἈγαθάγγελε.

Ὃν ἐπόθησας ἔνδοξε, σῶμα δι᾽ ὃν ἔθυσας καθικέτευε, τοῖς ὑμνοῦσί σε δωρήσασθαι, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

*Θεοτοκίον.*

Τῆς Μητρός Σου δεήσεσι, καὶ Ἀγαθαγγέλου Κύριε δώρησαι, τοῖς ἱκέταις Σου τὴν ἄφεσιν, τῶν πλημμελημάτων ὑπεράγαθε.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ἰατρὸς καχεκτούντων, ἀνεδείχθης πανόλβιε Ἀγαθάγγελε, διὸ δέομαί σου, τῆς ψυχῆς μου τὰ πάθη καὶ σώματος, καὶ παντοίας λώβης, ἐξασθενοῦντά με λιταῖς σου, ὡς καλός μου προστάτης θεράπευσον.

Παῤῥησίαν ὡς ἔχων, τῷ Δεσπότῃ τῶν ὅλων Μάρτυς ἱκέτευε, ἵνα ἐγκλημάτων, τὴν συγχώρησιν πᾶσι δωρήσηται, τοῖς μετ᾽ εὐλαβείας, ἀσπαζομένοις σῶν λειψάνων, τὴν σορὸν ἱερὲ Ἀγαθάγγελε.

Παρεστὼς τῇ Τριάδι, θεῖε Ἀγαθάγγελε ὅλος ὁλόφωτος, ὑπὲρ τῆς Μονῆς σου, καθικέτευε ταύτην μακάριε, ἐκ παντὸς κινδύνου, βιοτικῶν πειρατηρίων, φυλαχθῆναι εἰς τέλος ἀπήμονα.

*Θεοτοκίον.*

Τὴν Ἁγίαν Παρθένον, τὴν Θεοχαρίτωτον καὶ Παναμώμητον, ὁ στεῤῥὸς ὁπλίτης, εἰς βοήθειαν ἐπικαλούμενος, τῶν βασάνων ὄγκον, καὶ τῶν δεινῶν τὴν τρικυμίαν, ἀπτοήτῳ διῆλθε φρονήματι.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Τὴν πίστιν, τὴν τοῦ Χριστοῦ ἀοίδιμε ἀγαπήσαι οὐδαμῶς ἐπτοήθης, τὰς χαλεπάς, καὶ ποικίλαις κολάσεις, ἀλλὰ τυράννων ἀνδρείως ἐνώπιον, ἐκήρυξας τὴν ἀληθῆ, τῆς Τριάδος ἀήττητον δύναμιν.

Προστάτην, πρὸς τὸν Θεὸν κεκτήμεθα, καὶ μεσίτην ἈγαθάγγελεΜάρτυς, καὶ γὰρ πολλὴν παῤῥησίαν ἐκτήσω, ὑπεραθλήσας γενναίως ἀοίδιμε, ἱκέτευε οὖν ἐκτενῶς, ὑπὲρ πάντων τῶν πίστει τιμώντων σε.

Νυγεῖσά σου, ἡ ψυχὴ θείῳ βέλει, τῆς γλυκείας τοῦ Σωτῆρος ἀγάπης, καὶ τὸ αὐτοῦ, φανταζόμενος κάλλος, φανταζομένη δι᾽ ὅλου προσέδραμες, ὀπίσω Αὐτοῦ μαρτυρικῶς, καὶ Αὐτοῦ ἐντρυφᾶς ἀγαλλόμενος.

*Θεοτοκίον.*

Νοσοῦσάν μου, ἀνιάτως Παρθένε, καὶ τῷ δείγματι δεινῶς πληγωθεῖσαν, τοῦ πονηροῦ, τὴν καρδίαν μου Κόρη, τῷ δραστικῷ Σου φαρμάκῳ θεράπευσον, καὶ σῶσόν με τὸν ἐπὶ Σοί, τὰς ἐλπίδας μου θέμενον Δέσποινα.

Διάσωσον, ἀπὸ κινδύνων Μονήν σου τὴν σὲ τιμῶσαν, καὶ τὴν ποίμνην ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ ἡμῶν καὶ ῥύστης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀθλοφόρε Χριστοῦ Ἀγαθάγγελε, τῆς Ἁγίας Τριάδος ὑπέρμαχε ἔνθερμε, μὴ παρίδῃς δεήσεις εὐσεβῶν, ἀλλὰ πρόφθασον ταχύ, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς ἐκβοώντων σοι· ἔνδοξε στεφανίτα, πρεσβείαν πρὸς Θεὸν ποίει, ὅπως ῥυσθῶμεν τῶν δεινῶν, καὶ κινδύνων ταῖς πρεσβείαις σου.

Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

*Εὐαγγέλιον, κατὰ Λουκᾶν.*

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τοῦ Ἀγγέλου τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἤ τι ἀπολογήσησθε, ἤ τι εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Δόξα: *Ταῖς τοῦ Ὁσιοάθλου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Τὸν ὑπεραθλήσαντα, ἐν τῷ σταδίῳ γενναίως, θεῖονἈγαθάγγελον, ἐν ᾠδαῖς καὶ ᾄσμασιν εὐφημήσωμεν, οὗτος γὰρ πάντοτε, οὐδέποτε λείπει, τοῦ πρεσβεύειν πρὸς τὸν Κύριον, ὅπως ἂν λάβωμεν, τῶν ἁμαρτημάτων συγχώρησιν, τούτῳ οὖν προσερχόμενοι, πίστει τε καὶ βοήσωμεν· Μάρτυς Ἀθλοφόρε, Μονῆς τοῦ Ἐσφιγμένου φοιτηταί, τὸν Λυτρωτὴν ἐκδυσώπησον, ὑπὲρ τῶν τιμώντων σε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τῶν Ἁγίων Ἀγγέλων ἰσοστάσιος ὄντως ὦ Ἀγαθάγγελε, ὑπάρχων Ἀθλοφόρε, ἐκλύτρωσαι κινδύνων τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σεαυτὸν τῷ Κυρίῳ προσενήνοχας Μάρτυς θῦμα εὐπρόσδεκτον, καὶ νῦν μὴ διαλείπῃς, Ὁσιόαθλε πάντας, ἐποπτεύων τοὺς ψάλλοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θησαυρὸς ἰαμάτων καὶ πηγὴ τῶν θαυμάτων ἡ θεία πέφυκε, κάρα τοῦ Ἀθλοφόρου, στεῤῥοῦ Ἀγαθαγγέλου, τοῖς ἐν πίστει κραυγάζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Πανύμνητε Παρθένε ἡ Θεὸν σαρκωθέντα κόσμῳ κυήσασα, παντοίων ἀλγηδόνων, ἀπάλλαξον τοὺς

πίστει, τῷ Υἱῷ Σου κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ταῖς σαῖς πρεσβείαις, τὰς τῶν ψυχῶν ἀῤῥωστίας, τῶν σὲ τιμώντων θεραπεύεις τρισμάκαρ, ὅθεν σὲ τιμῶμεν, ἈγαθάγγελεΜάρτυς.

Τοὺς προσιόντας, τοῖς ἱεροῖς σου λειψάνοις, ἐκ παντοίων λύτρωσαι κινδύνων, νόσων τε ποικίλων, Ἀγαθάγγελε μάκαρ.

Πρὸς τὸν Δεσπότην, σὲ προβάλλοντες πρέσβυν, ἀπὸ κινδύνων ἐκλυτρούμεθα Μάρτυς, σαῖς πανευπροσδέκτοις, πρὸς τὸν Θεὸν πρεσβείαις.

*Θεοτοκίον.*

Τὴν ἐκτακεῖσαν, ταῖς ἁμαρτίαις ψυχήν μου, Σῇ μεσιτείᾳ καταδρόσισον Κόρη, ὅπως Σὲ δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἐνήθλησας γενναίως, Ἀγαθάγγελε Μάρτυς, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ Χριστοῦ τοῦ Θεοῦ, ἐδέξω ὄντως αἰσχύνας τὸν πολυμήχανον.

Χαρᾶς καὶ εὐφροσύνης, ἔμπλησον τοὺς πόθῳ, ἀσπαζομένους τὰ θεῖά σου λείψανα, ὦ Ἀγαθάγγελε Μάρτυς καὶ ῥῶσιν βράβευσον.

Δεήθητι Κυρίου, Ὅσιε καὶ Μάρτυς, ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην σου, τοῦ λυτρωθῆναι κινδύνων καὶ περιστάσεων.

*Θεοτοκίον.*

Τὴν ὄντως Θεοτόκον, πάντες Σὲ τιμῶμεν, καὶ ἀσιγήτως τὸ χαῖρέ Σοι κράζομεν, Σὺ γὰρ ἐκύησας κόσμῳ τὴν ἀγαλλίασιν.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τὸν λαμπρὸν καὶ μέγιστον Ἀθλητήν, ἡμῶν πολιοῦχον,Ἀγαθάγγελον τὸν στεῤῥόν, ὕμνοις ἐπαξίως, τιμήσωμεν καὶ τούτου, σορὸν θείων λειψάνων κατασπασώμεθα.

Ἔθελξε σε πόθος ὁ τοῦ Χριστοῦ, γενναῖε ὁπλῖτα Ἀγαθάγγελεἱερέ, διὸ τοῖς τυράννοις, παρέδωκας τὸ σῶμα, ὑπὲρ Χριστοῦ τυθῆναι Ὃν ἐκήρυξας.

Δεῦτε εὐφημήσωμεν ἀδελφοί, ἐν ᾠδαῖς καὶ ὕμνοις μαργαρίτην τοῦ Ἰησοῦ, τῶν Νεομαρτύρων, Χριστοῦ τὸ λαμπρὸν ἄστρον,Ἀγαθάγγελον θεῖον ἡμῶν τὸν πρόμαχον.

Πηγὴν θαυματόβρυτον τὰ σεπτά, ὀστέα σου Μάρτυς κεκτημένοι παρὰ Θεοῦ, ἐν σοὶ χαρμοσύνως, καυχᾶται ἡ Μονή σου, ἣν φρούρειςἈγαθάγγελε ταῖς πρεσβείαις σου.

Νέος ἀλλ’ ἀδάμαστος Ἀθλητής, ὤφθης γενναιόφρον,Ἀγαθάγγελε τοῦ Χριστοῦ, ἔναντι τυράννων, Αὐτὸν ἀνακηρύξας, Θεὸν καὶ Βασιλέα πάσης τῆς κτίσεως.

Τοὺς ἀσπαζομένους σου εὐλαβῶς, κάραν τὴν Ἁγίαν, τὴν κηρύξασαν τὸν Χριστόν, καὶ ἐπιτελοῦσι, μετὰ ταύτης δεήσεις, παντοίων συμπτωμάτων δεινῶν ἀπάλλαξον.

Ὑψημέδων ἄναρχε ταῖς λιταῖς, Σοῦ Ἀγαθαγγέλου, νεοάθλου τοῦ θαυμαστοῦ, καὶ τῆς Θεοτόκου, ψυχήν μου σκοτισθεῖσαν, παθῶν τῇ ἀμαυρώσει φώτισον δέομαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον. Τὰ συνήθη τροπάρια. Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Νέος, ἀνεδείχθης Ἀθλητής, σοφὲ Ἀγαθάγγελε Μάρτυς, ἐχθρὸν συραξάμενος, τὸν μισανθρωπότατον στεῤῥᾷ ἀθλήσει σου, τὸν εἰς ὕψος καυχώμενον, καὶ γένος ἀνθρώπων, παμπήδην γελάσαντα, καὶ ἀπατήσαντα, ὅθεν, τὴν σορὸν σῶν

λειψάνων, πόθῳ ἀσπαζόμενοι μάκαρ, τῷ σὲ ἐνισχύσαντι δοξάζομεν.

Τὴν πᾶσαν ἐλπίδα μου...

*Ἀπόλυσις.*

